τῆς δυσσεβείας ἀνθελοῦ· πολλοῖσι γὰρ
κέρδη πονηρὰ ζημίαν ἠμείψατο.
ΣΕΙ. παραινέσαι σοι βούλομαι· τῶν γὰρ κρεῶν
μηδὲν λίπῃς τοῦδ᾽· ἢν δὲ τὴν γλῶσσαν δάκῃς,
κομψὸς γενήσει καὶ λαλίστατος, Κύκλωψ.
ΚΥ. ὁ πλοῦτος, ἀνθρωπίσκε, τοῖς σοφοῖς θεός,
τὰ δ᾽ ἄλλα κόμποι καὶ λόγων εὐμορφίαι.
ἄκρας δ᾽ ἐναλίας ἃς κάθ᾽ ἵδρυται πατὴρ
χαίρειν κελεύω· τί τάδε προυστήσω λόγῳ;
Ζηνὸς δ᾽ ἐγὼ κεραυνὸν οὐ φρίσσω, ξένε,
οὐδ᾽ οἶδ᾽ ὅ τι Ζεύς ἐστ᾽ ἐμοῦ κρείσσων θεός.
οὔ μοι μέλει τὸ λοιπόν· ὡς δ᾽ οὔ μοι μέλει,
ἄκουσον. ὅταν ἄνωθεν ὄμβρον ἐκχέῃ,
ἐν τῇδε πέτρᾳ στέγν᾽ ἔχω σκηνώματα,
ἢ μόσχον ὀπτὸν ἤ τι θήρειον δάκος
δαινύμενος ἐν στέγοντι γαστέρ᾽ ὑπτίαν
ἐπεκπιὼν γάλακτος ἀμφορέα πέπλον
κρούω, Διὸς βρονταῖσιν εἰς ἔριν κτυπῶν.
ὅταν δὲ βορέας χιόνα Θρήκιος χέῃ,
δοραῖσι θηρῶν σῶμα περιβαλὼν ἐμὸν
καὶ πῦρ ἀναίθων, χιόνος οὐδέν μοι μέλει.
ἡ γῆ δ᾽ ἀνάγκῃ, κἂν θέλῃ κἂν μὴ θέλῃ,
τίκτουσα ποίαν τἀμὰ πιαίνει βοτά.
ἁγὼ οὔτινι θύω πλὴν ἐμοί, θεοῖσι δ᾽ οὔ,
καὶ τῇ μεγίστῃ γαστρὶ τῇδε δαιμόνων·
ὡς τοὐμπιεῖν γε καὶ φαγεῖν τοὐφ᾽ ἡμέραν
Ζεὺς οὗτος ἀνθρώποισι τοῖσι σώφροσι,
λυπεῖν δὲ μηδὲν αὑτόν· οἳ δὲ τοὺς νόμους
ἔθεντο ποικίλλοντες ἀνθρώπων βίον,
κλαίειν ἄνωγα· τὴν δ᾽ ἐμὴν ψυχὴν ἐγὼ
οὐ παύσομαι δρῶν εὖ κατεσθίων τε σέ.
ξένια δὲ λήψει τοιάδ᾽, ὡς ἄμεμπτος ὦ,

---

314. *δέ*] Lentingius, *τε* codex. 318. *κάθ᾽ ἵδρυται*] Hermannus, *καθίδρυται* codex. 336. *τοὐμπιεῖν*] Reiskius, *τοῦ πιεῖν* codex. 340. *δ᾽* addidit Barnesius. 342. *δέ*] Fixius, *τε* codex.